# BIBLIOTHECA CLASSICA POETARVM GRAECORVM.

TOMVS V.

## ANACREONTICA CVM ALIIS LYRICIS CONTINENS.

BIBLIOTH: ACADEM: DORPAT:

LIPSIAE
SVMTIBVS J. A. G. WEIGELII.
LVGDVNI BATAVORVM
APVD S. ET J. LVCHTMANS.
1817.

# ANACREONTICA

## CVM ALIIS LYRICIS.

NOVA EDITIO ACCVRATA

IN VSVM

PRAELECTIONVM ACADEMICARVM

ET SCHOLARVM.

Acc. 30476.

LIPSIAE

SVMTIBVS J. A. G. WEIGELII.

LVGDVNI BATAVORVM

APVD S. ET J. LVCHTMANS.

1817.

# Β΄. ΣΙΜΩΝΙΔΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

*Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε μῆτερ ὀπώρης*
*Οὔλης, ἣ σκολιὸν πλέγμα φύσεις ἕλικος,*
*Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ᾽ ἄκρῃ*
*Στήλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου·*
*Ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος*
*Παννύχιος κρούοι τὴν φιλόπαιδα χέλυν,*
*Κἢν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο*
*Ἀγλαὸν ὡραίων βότρυν ἀπ᾽ ἀκρεμόνων,*
*Καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς*
*Λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.*

# Γ. ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

*Οὗτος Ἀνακρείοντα, τὸν ἄφθιτον εἵνεκα Μουσέων*
*Ὑμνοπόλον, πάτρης τύμβος ἔδεκτο Τέω·*
*Ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ᾽ Ἐρώτων,*
*Τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.*
*Μοῦνος δ᾽ εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων*
*Ἠέλιον Λήθης ἐνθάδ᾽ ἔκυρσε δόμῳ,*
*Ἀλλ᾽ ὅτι τὸν χαρίεντα μετ᾽ ἠϊθέοισι Μεγιστέα*
*Καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον·*
*Μολπῆς δ᾽ οὐ λήθη μελιτερπέος· ἀλλ᾽ ἔτι κεῖνο*
*Βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.*

# Δ΄. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Ξεῖνε, τάφον παρὰ λιτὸν Ἀνακρείοντος ἀμείβων,
Εἴτι τοὶ ἐκ βίβλων ἦλθεν ἐμῶν ὄφελος,
Σπεῖσον ἐμῇ σποδιῇ, σπεῖσον γάνος, ὄφρά κεν οἴνῳ
Ὀστέα γηθήσῃ τἀμὰ νοτιζόμενα·
Ὡς ὁ Διωνύσου μεμελημένος οὔασι κῶμος,
Ὡς ὁ φιλακρήτου σύντροφος ἁρμονίης,
Μηδὲ καταφθίμενος Βάκχου δίχα τοῦτον ὑποίσω
Τὸν γενεῇ μερόπων χῶρον ὀφειλόμενον.

# ΑΝΑΚΡΕΟΝΤΟΣ

## ᾨΔΑΙ.

### ά. Εἰς ὑραν.

Θέλω λέγειν Ἀτρείδας,
θέλω δὲ Κάδμον ᾄδειν·
ἁ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
ἤμειψα νεῦρα πρώην,
καὶ τὴν λύρην ἅπασαν.
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
χαίροιτε λοιπὸν ἡμῖν
ἥρωες· ἡ λύρη γὰρ
μόνους Ἔρωτας ᾄδει.

### β΄. Εἰς γυναῖκας.

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ᾽ ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ᾽ ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτὸν,
τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσιν φρόνημα.
γυναιξὶν οὐκ ἔτ᾽ εἶχεν.
τί οὖν δίδωσι; κάλλος,
ἀντ᾽ ἀσπίδων ἁπασῶν,
ἀντ᾽ ἐγχέων ἁπάντων.
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

## γ΄. Εἰς Ἔρωτα.

Μεσονυκτίοις ποθ᾽ ὥραις,
στρέφεται ὅτ᾽ Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέαται κόπῳ δαμέντα,
τότ᾽ Ἔρως ἐπισταθείς μευ
θυρέων ἔκοπτ᾽ ὀχῆας.
τίς, ἔφην, θύρας ἀράσσει;
κατά μευ σχίσεις ὀνείρους.
ὁ δ᾽ Ἔρως, ἄνοιγε, φησὶ,
βρέφος εἰμὶ, μὴ φόβησαι,
βρέχομαι δὲ, κἀσέληνον
κατα νύκτα πεπλάνημαι.
ἐλέησα ταῦτ᾽ ἀκούσας,
ἀνὰ δ᾽ εὐθὺ λύχνον ἅψας
ἀνέῳξα, καὶ βρέφος μὲν
ἐσορῶ φέροντα τόξον
πτέρυγάς τε καὶ φαρέτρην·
παρὰ δ᾽ ἱστίην καθίξας,
παλάμαισι χεῖρας αὐτοῦ
ἀνέθαλπον, ἐκ δὲ χαίτης
ἀπέθλιβον ὑγρὸν ὕδωρ.
ὁ δ᾽, ἐπεὶ κρύος μεθῆκε,
φέρε, φησὶ, πειράσωμεν
τόδε τόξον, ἔς τί μοι νῦν
βλάβεται βραχεῖσα νευρή·
τανύει δὲ, καί με τύπτει
μέσον ἧπαρ, ὥσπερ οἶστρος,
ἀνὰ δ᾽ ἅλλεται καχάζων,
ξένε δ᾽, εἶπε, συγχάρηθι,
κέρας ἀβλαβὲς μὲν ἐστι,
σὺ δὲ καρδίαν πονήσεις.

## δ΄. Εἰς ἑαυτόν.

Ἐπὶ μυρσίναις τερείναις,
ἐπὶ λωτίναις τε ποίαις
στορέσας θέλω προπίνειν.

ὁ δ' Ἔρως χιτῶνα δήσας
ὑπὲρ αὐχένος παπύρῳ,
μέθυ μοι διακονείτω.
τροχὸς ἅρματος γὰρ οἷα
βίοτος τρέχει κυλισθείς·
ὀλίγη δὲ κεισόμεσθα
κόνις, ὀστέων λυθέντων.
τί σε δεῖ λίθον μυρίζειν;
τί δὲ γῇ χέειν μάταια;
ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, κάλει δ' ἑταίρην.
πρὶν ἐκεῖσε δεῖ μ' ἀπελθεῖν
ὑπὸ νερτέρων χορείας,
σκεδάσαι θέλω μερίμνας.

## ε'. Εἰς ῥόδον.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων
μίξωμεν Διονύσῳ·
τὸ ῥόδον τὸ καλλίφυλλον
κροτάφοισιν ἁρμόσαντες,
πίνωμεν ἁβρὰ γελῶντες.
τὸ ῥόδον φέριστον ἄνθος,
ῥόδον εἴαρος μέλημα·
ῥόδα καὶ θεοῖσι τερπνὰ,
ῥόδα, τοῖς ὁ παῖς Κυθήρης
στέφεται καλοὺς ἰούλους
Χαρίτεσσι συγχορεύων.
στεφώμεθ' οὖν. λυρίζων
παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
μετὰ κούρης βαθυκόλπου,
ῥοδίνοισι στεφανίσκοις
πεπυκασμένος, χορεύσω.

## ϛ'. Ἐρωτικὸν, ἢ κῶμος.

Στεφάνους μὲν κροτάφοισι
ῥοδίνους συναρμόσαντες,
μεθύομεν ἁβρὰ γελῶντες·

ὑπὸ βαρβίτῳ δὲ κούρα
κατακίσσοισι βρέμοντας
πλοκάμοις φέρουσα θύρσους
χλιδανόσφυρος χορεύει.
ἁβροχαίτας δ᾽ ἅμα κοῦρος,
στομάτων ἁδὺ πνεόντων,
κατὰ πηκτίδων ἀθύρει,
προχέων λίγειαν ὀμφάν.
ὁ δ᾽ Ἔρως ὁ χρυσοχαίτας
μετὰ τοῦ καλοῦ Λυαίου,
καὶ τῆς καλῆς Κυθήρης,
τὸν ἐπήρατον γεραιοῖς
κῶμον μέτεισι χαίρων.

## ζ. Εἰς Ἔρωτα.

Ὑακινθίνῃ με ῥάβδῳ
χαλεπὸς Ἔρως ῥαπίζων
ἐκέλευε συντροχάζειν,
διὰ δ᾽ ὀξέων μ᾽ ἀναύρων,
ξυλόχων τε καὶ φαράγγων
τροχάοντα τεῖρεν ἱδρώς,
κραδίη δὲ ῥινὸς ἄχρις
ἀνέβαινε, κἂν ἀπέσβην.
ὁ δ᾽ Ἔρως μέτωπα σείων
ἁπαλοῖς πτεροῖσιν, εἶπε·
σὺ γὰρ οὐ δύνῃ φιλῆσαι.

## η. Εἰς τὸν ἑαυτοῦ ὄνειρον.

Διὰ νυκτὸς ἐγκαθεύδων
ἁλιπορφύροις τάπησι
γεγανυμένος Λυαίῳ,
ἐδόκουν ἄκροισι ταρσοῖς
δρόμον ὠκὺν ἐκτανύειν,
μετὰ παρθένων ἀθύρων.
ἐπεκερτόμουν δὲ παῖδες
ἁπαλώτεροι Λυαίου,
δακέθυμά μοι λέγοντες,
διὰ τὰς καλὰς ἐκείνας.

ἐθέλοντα δὲ φιλῆσαι
φύγον ἐξ ὕπνου με πάντες.
μεμονωμένος δ᾽ ὁ τλήμων
πάλιν ἤθελον καθεύδειν.

## θ'. Εἰς περιστεράν.

Ἐρασμίη πέλεια,
πόθεν, πόθεν πέτασαι;
πόθεν μύρων τοσούτων,
ἐπ᾽ ἠέρος θέουσα,
πνέεις τε καὶ ψεκάζεις;
τίς εἶ; τί σοι μέλει δέ;
Ἀνακρέων μ᾽ ἔπεμψε
πρὸς παῖδα, πρὸς Βάθυλλον,
τὸν ἄρτι τῶν ἁπάντων
κρατοῦντα καὶ τύραννον.
πέπρακέ μ᾽ ἡ Κυθήρη,
λαβοῦσα μικρὸν ὕμνον.
ἐγὼ δ᾽ Ἀνακρέοντι
διακονῶ τοσαῦτα.
καὶ νῦν, ὁρᾷς, ἐκείνου
ἐπιστολὰς κομίζω·
καί φησιν εὐθέως με
ἐλευθέρην ποιήσειν·
ἐγὼ δὲ, κἢν ἀφῇ με,
δούλη μενῶ παρ᾽ αὐτῷ.
τί γάρ με δεῖ πέτασθαι
ὄρη τε καὶ κατ᾽ ἀγροὺς,
καὶ δένδρεσιν καθίζειν,
φαγοῦσαν ἄγριόν τι;
τανῦν ἔδω μὲν ἄρτον,
ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
πιεῖν δ᾽ ἐμοὶ δίδωσι
τὸν οἶνον ὃν προπίνει.
πιοῦσα δ᾽ ἂν χορεύω,
καὶ δεσπότην ἐμοῖσι
πτεροῖσι συσκιάζω·

κοιμωμένη δ᾽ ἐπ᾽ αὐτῷ
τῷ βαρβίτῳ καθεύδω.
ἔχεις ἅπαντ᾽· ἄπελθε.
λαλιστέραν μ᾽ ἔθηκας,
ἄνθρωπε, καὶ κορώνης.

## ι΄. Εἰς Ἔρωτα κήρινον.

Ἔρωτα κήρινόν τις
νεηνίης ἐπώλει·
ἐγὼ δέ οἱ παραστὰς,
πόσου θέλεις, ἔφην, σοὶ
τὸ τυχθὲν ἐκπρίωμαι;
ὁ δ᾽ εἶπε δωριάζων·
λάβ᾽ αὐτὸν ὁππόσου λῇς·
ὅμως ἵν᾽ ἐκμάθῃς νιν,
οὐκ εἰμὶ καροτέχνας·
ἀλλ᾽ οὔ τι λῶ συνοικῆν
Ἔρωτι παντορέκτᾳ.
δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
δραχμῆς, καλὸν σύνευνον.
Ἔρως, σὺ δ᾽ εὐθέως με
πύρωσον· εἰ δὲ μὴ, σὺ
κατὰ φλογὸς τακήσῃ.

## ια΄. Εἰς ἑαυτόν.

Λέγουσιν αἱ γυναῖκες·
Ἀνακρέων, γέρων εἶ·
λαβὼν ἔσοπτρον, ἄθρει
κόμας μὲν οὐκ ἔτ᾽ οὔσας,
ψιλὸν δέ σευ μέτωπον.
ἐγὼ δὲ τὰς κόμας μὲν,
εἴτ᾽ εἰσὶν, εἴτ᾽ ἀπῆλθον,
οὐκ οἶδα· τοῦτο δ᾽ οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὸ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρης.

## ιβ'. Εἰς χελιδόνα.

Τί σοι θέλεις ποιήσω,
τί, κωτίλη χελιδών;
τὰ ταρσά σευ τὰ κοῦφα
θέλεις λαβὼν ψαλίξω;
ἢ μᾶλλον ἔνδοθέν σευ
τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
ἐκεῖνος, ἐκθερίξω;
τί μευ καλῶν ὀνείρων,
ὑπορθρίαισι φωναῖς,
ἀφήρπασας Βάθυλλον;

## ιγ'. Εἰς ἑαυτόν.

Οἱ μὲν καλὴν Κυβήβην
τὸν ἡμίθηλυν Ἄττιν
ἐν οὔρεσιν βοῶντα
λέγουσιν ἐκμανῆναι·
οἱ δὲ Κλάρου παρ' ὄχθαις
δαφνηφόροιο Φοίβου
λάλον πιόντες ὕδωρ
μεμηνότες βοῶσιν.
ἐγὼ δὲ τοῦ Λυαίου
καὶ τοῦ μύρου κορεσθεὶς
καὶ τῆς ἐμῆς ἑταίρης,
θέλω, θέλω μανῆναι.

## ιδ'. Εἰς Ἔρωτα.

Θέλω, θέλω φιλῆσαι.
ἔπειθ' Ἔρως φιλεῖν με·
ἐγὼ δ' ἔχων νόημα
ἄβουλον, οὐκ ἐπείσθην.
ὁ δ' εὐθὺ τόξον ἄρας
καὶ χρυσέην φαρέτρην,
μάχῃ με προὐκαλεῖτο.
κἀγὼ λαβὼν ἐπ' ὤμων
θώρηχ', ὅπως Ἀχιλλεὺς,
καὶ δοῦρα, καὶ βοείην,

ἐμαρνάμην Ἔρωτι.
ἔβαλλ', ἐγὼ δ' ἔφευγον.
ὡς δ' οὐκ ἔτ' εἶχ' οἰστοὺς,
ἤσχαλλεν, εἶθ' ἑαυτὸν
ἀφῆκεν εἰς βέλεμνον·
μέσος δὲ καρδίης μευ
ἔδυνε, καί μ' ἔλυσε.
μάτην δ' ἔχω βοείην.
τί γὰρ βάλωμεν ἔξω,
μάχης ἔσω μ' ἐχούσης;

## ιέ. Εἰς τὸ ἀφθόνως ζῆν.

Οὔ μοι μέλει τὰ Γύγεω,
τοῦ Σαρδίων ἄνακτος·
οὐδ' εἷλε πώ με ζῆλος,
οὐδὲ φθονῶ τυράννοις.
ἐμοὶ μέλει μύροισι
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισι
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι·
τὸ δ' αὔριον τίς οἶδεν;
[ὡς οὖν ἔτ' εὐδί' ἐστὶ,
καὶ πῖνε, καὶ κύβευε,
καὶ σπένδε τῷ Λυαίῳ,
μὴ νοῦσος, ἤν τις ἔλθῃ,
λέγῃ, σὲ μὴ δεῖ πίνειν.]

## ιϛ'. Εἰς ἑαυτόν.

Σὺ μὲν λέγεις τὰ Θήβης,
ὁ δ' αὖ Φρυγῶν ἀϋτάς·
ἐγὼ δ' ἐμὰς ἁλώσεις.
οὐχ ἵππος ὤλεσέν με,
οὐ πεζὸς, οὐχὶ νῆες·
στρατὸς δὲ καινὸς ἄλλος
ἀπ' ὀμμάτων βαλών με.

## ιζ'. Εἰς ποτήριον ἀργυροῦν.

Τὸν ἄργυρον τορεύων
Ἥφαιστέ μοι ποίησον,
πανοπλίαν μὲν οὐχὶ,
(τί γὰρ μάχαισι κἀμοί;)
ποτήριον δὲ κοῖλον,
ὅσον δύνῃ, βαθύνας.
ποίει δέ μοι κατ' αὐτὸ
μήτ' ἄστρα, μήθ' ἄμαξαν,
μὴ στυγνὸν Ὠρίωνα.
τί Πλειάδων μέλει μοι,
τί δ' ἀστέρος Βοώτεω;
ποίησον ἀμπέλους μοι,
καὶ βότρυας κατ' αὐτῶν,
καὶ Μαινάδας τρυγώσας·
ποίει δὲ ληνὸν οἴνου,
καὶ χρυσέους πατοῦντας
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα καὶ Βάθυλλον.

## ιη'. Εἰς τὸ αὐτό.

Καλλίτεχνα, τόρευσον
ἔαρος κύπελλον ἤδη·
τὰ τερπνὰ τὴν πρῶθ' ἡμῖν
ῥόδα φέρουσαν ὥρην.
τὸν ἄργυρον δ' ἁπλώσας
ποίει πότον μοι τερπνόν.
μὴ τῶν παρ' οἴνῳ τελετῶν
ξένον τί μοι τορεύσῃς,
μὴ φευκτὸν ἱστόρημα·
μᾶλλον δὲ ποίει τὸν Διὸς
Εὔϊον ἡμῖν ἔκγονον,
μύστιν τε τῶν πόθων Κύπριν
ὑμεναίους συγκροτοῦσαν.
χάρασσ' Ἔρωτας ἀνόπλους,
καὶ Χάριτας γελώσας,
ὑπ' ἄμπελον εὐπέταλον,

εὔβοτρυον, κομῶσαν·
σύναπτε κούρους εὐπρεπεῖς·
ὁμοῦ δὲ Φοῖβος ἀθύροι.

### ιθ΄. Εἰς τὸ δεῖν πίνειν.

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε᾽ αὐτήν.
πίνει θάλασσ᾽ ἀναύρους,
ὁ δ᾽ ἥλιος θάλασσαν,
τὸν δ᾽ ἥλιον σελήνη.
τί μοι μάχεσθ᾽, ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

### κ΄. Εἰς κόρην.

Ἡ Ταντάλου ποτ᾽ ἔστη
λίθος Φρυγῶν ἐν ὄχθαις,
καὶ παῖς ποτ᾽ ὄρνις ἔπτη
Πανδίονος χελιδών.
ἐγὼ δ᾽ ἔσοπτρον εἴην,
ὅπως ἀεὶ βλέπῃς με·
ἐγὼ χιτὼν γενοίμην,
ὅπως ἀεὶ φορῇς με.
ὕδωρ θέλω γενέσθαι,
ὅπως σε χρῶτα λούσω.
μύρον, γύναι, γενοίμην,
ὅπως ἐγώ σ᾽ ἀλείψω.
καὶ ταινίη δὲ μαστῶν,
καὶ μάργαρον τραχήλῳ,
καὶ σάνδαλον γενοίμην.
μόνον ποσὶν πάτει με.

### κα΄. Εἰς ἑαυτόν.

Δότε μοι, δότ᾽, ὦ γυναῖκες,
Βρομίου πιεῖν ἀμυστί·
ὑπὸ καύματος γὰρ ἤδη
προδοθεὶς ἀναστενάζω.
δότε δ᾽ ἀνθέων ἐκείνου·

στεφάνους δ', οἵοις πυκάζω·
τὰ μέτωπά μου, πικαίω,
τὸ δὲ καῦμα τῶν Ἐρώτων,
κραδίη, τίνι σκεπάζω;

### κβ'. Εἰς Βάθυλλον.

Παρὰ τὴν σκιὴν Βαθύλλου
καθίσω. καλὸν τὸ δένδρον·
ἁπαλὰς δ' ἔσεισε χαίτας
μαλακωτάτῳ κλαδίσκῳ.
παρὰ δ' αὐτὸν ἐρεθίζει
πηγὴ ῥέουσα πειθοῦς.
τίς ἂν οὖν ὁρῶν παρέλθοι
καταγώγιον τοιοῦτο;

### κγ'. Εἰς τὸν πλοῦτον.

Ὁ πλοῦτος εἴ γε χρυσοῦ
τὸ ζῆν παρεῖχε θνητοῖς,
ἐκαρτέρουν φυλάσσων,
ἵν', ἂν Θάνατος ἐπέλθῃ,
λάβῃ τι, καὶ παρέλθῃ.
εἰ δ' οὔ τί που πρίασθαι
τὸ ζῆν ἔνεστι θνητοῖς,
τί καὶ μάτην στενάζω;
τί καὶ γόους προπέμπω;
θανεῖν γὰρ εἰ πέπρωται,
τί χρυσὸς ὠφελεῖ με;
ἐμοὶ γένοιτο πίνειν,
πιόντι δ' οἶνον ἡδὺν
ἐμοῖς φίλοις συνεῖναι,
ἁπαλαῖσιν ἔν τε κοίταις
τελεῖν τὰν Ἀφροδίταν.

### κδ'. Εἰς ἑαυτόν.

Ἐπειδὴ βροτὸς ἐτέχθην
βιότου τρίβον ὁδεύειν,
χρόνον ἔγνων, ὃν παρῆλθον·

ὃν δ᾽ ἔχω δραμεῖν, οὐκ οἶδα·
μέθετέ με, φροντίδες·
μηδέν μοι καὶ ὑμῖν ἔστω.
πρὶν ἐμὲ φθάσῃ τὸ τέρμα,
παίξω, γελάσω, χορεύσω
μετὰ τοῦ καλοῦ Λυαίου.

### κέ. Εἰς ἑαυτόν.

Ὅταν πίω τὸν οἶνον,
εὕδουσιν αἱ μέριμναι.
τί μοι πόνων, τί μοι γόων,
τί μοι μέλει μεριμνῶν;
θανεῖν με δεῖ, κἂν μὴ θέλω.
τί δὲ τὸν βίον πλανῶμαι;
πίωμεν οὖν τὸν οἶνον
τὸν τοῦ καλοῦ Λυαίου.
σὺν τῷ δὲ πίνειν ἡμᾶς
εὕδουσιν αἱ μέριμναι.

### κϛ'. Εἰς ἑαυτόν.

Ὅταν ὁ Βάκχος εἰσέλθῃ,
εὕδουσιν αἱ μέριμναι·
δοκῶν δ᾽ ἔχειν τὰ Κροίσου
θέλω καλῶς ἀείδειν·
κισσοστεφὴς δὲ κεῖμαι,
πατῶ δ᾽ ἅπαντα θυμῷ.
ὅπλιζ᾽, ἐγὼ δὲ πίνω.
φέρ᾽ ἐμοὶ κύπελλον, ὦ παῖ·
μεθύοντα γάρ με κεῖσθαι
πολὺ κρεῖσσον, ἢ θανόντα.

### κζ. Εἰς Διόνυσον.

Τοῦ Διὸς ὁ παῖς ὁ Βάκχος,
ὁ λυσίφρων, ὁ λυαῖος,
ὅταν εἰς φρένας τὰς ἐμὰς
εἰσέλθῃ μεθυδότας,
διδάσκει με χορεύειν.

ἔχω δὲ καί τι τερπνὸν
ὁ τᾶς μέθας ἐραστάς·
μετὰ κρότων, μετ᾽ ᾠδᾶς
τέρπει με κ᾽ Ἀφροδίτα,
καὶ πάλιν θέλω χορεύειν.

## κη΄. Εἰς τὴν ἑαυτοῦ ἑταίραν.

Ἄγε, ζωγράφων ἄριστε,
γράφε, ζωγράφων ἄριστε,
Ῥοδίης κάρανε τέχνης,
ἀπεοῦσαν, ὡς ἂν εἴπω,
γράφε τὴν ἐμὴν ἑταίρην.
γράφε μοι τρίχας τὸ πρῶτον
ἁπαλάς τε καὶ μελαίνας·
ὁ δὲ κηρὸς ἂν δύνηται,
γράφε καὶ μύρου πνεούσας.
γράφε δ᾽ ἐξ ὅλης παρειῆς
ὑπὸ πορφυραῖσι χαίταις
ἐλεφάντινον μέτωπον.
τὸ μεσόφρυον δὲ μή μοι
διάκοπτε, μήτε μίσγε·
ἐχέτω δ᾽, ὅπως ἐκείνη,
τὸ λεληθότως σύνοφρυν
βλεφάρων ἴτυν κελαινήν.
τὸ δὲ βλέμμα νῦν ἀληθῶς
ἀπὸ τοῦ πυρὸς ποίησον,
ἅμα γλαυκὸν, ὡς Ἀθήνης,
ἅμα δ᾽ ὑγρὸν, ὡς Κυθήρης.
γράφε ῥῖνα καὶ παρειὰς,
ῥόδα τῷ γάλακτι μίξας.
γράφε χεῖλος, οἷα Πειθοῦς,
προκαλούμενον φίλημα.
τρυφεροῦ δ᾽ ἔσω γενείου
περὶ λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
στόλισον τὸ λοιπὸν αὐτὴν
ὑποπορφύροισι πέπλοις·
διαφαινέτω δὲ σαρκῶν

ὀλίγον, τὸ σῶμ᾽ ἐλέγχον.
ἀπέχει· βλέπω γὰρ αὐτήν·
τάχα κηρὲ καὶ λαλήσεις.

## κθ΄. Εἰς Βάθυλλον.

Γράφε μοι Βάθυλλον οὕτω,
τὸν ἑταῖρον, ὡς διδάσκω.
λιπαρὰς κόμας ποίησον,
τὰ μὲν ἔνδοθεν, μελαίνας,
τὰ δ᾽ ἐς ἄκρον, ἡλιώσας·
ἕλικας δ᾽ ἐλευθέρους μοι
πλοκάμων, ἄτακτα συνθεὶς,
ἄφες, ὡς θέλωσι, κεῖσθαι.
ἁπαλὸν δὲ καὶ δροσῶδες
στεφέτω μέτωπον ὀφρὺς
κυανωτέρη δρακόντων.
μέλαν ὄμμα γοργὸν ἔστω,
κεκερασμένον γαλήνῃ,
τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
τὸ δὲ τῆς καλῆς Κυθήρης,
ἵνα τις τὸ μὲν φοβῆται,
τὸ δ᾽ ἀπ᾽ ἐλπίδος κρεμᾶται.
ῥοδίνην δ᾽, ὁποῖα μῆλον,
χνοΐην ποίει παρειήν·
ἐρύθημα δ᾽ ὡς ἂν Αἰδοῦς
δύνασαι βαλεῖν, ποίησον.
τὸ δὲ χεῖλος, οὐκ ἔτ᾽ οἶδα,
τίνι μοι τρόπῳ ποιήσεις. . . .
ἁπαλὸν, γέμον τε Πειθοῦς.
τὸ δὲ πᾶν, ὁ κηρὸς αὐτὸς
ἐχέτω λαλῶν σιωπῇ.
μετὰ δὲ πρόσωπον ἔστω
τὸν Ἀδώνιδος παρελθὼν
ἐλεφάντινος τράχηλος.
μεταμάζιον δὲ ποίει
διδύμας τε χεῖρας Ἑρμοῦ,
Πολυδεύκεος δὲ μηροὺς,

Διονυσίην δὲ νηδύν.
ἁπαλῶν δ᾽ ὕπερθε μηρῶν,
μηρῶν τὸ πῦρ ἐχόντων,
ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
φθονερὴν ἔχεις δὲ τέχνην,
ὅτι μὴ τὰ νῶτα δεῖξαι
δύνασαι· τὰ δ᾽ ἦν ἀμείνω.
τί με δεῖ πόδας διδάσκειν;
λάβε μισθὸν ὅσσον εἴπῃς.
τοῦτον δὲ τὸν Ἀπόλλωνα
καθελὼν, ποίει Βάθυλλον.
ἢν δ᾽ ἐς Σάμον ποτ᾽ ἔλθῃς,
γράφε Φοῖβον ἐκ Βαθύλλου.

### λ΄. Εἰς Ἔρωτα.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
δήσασαι στεφάνοισι
τῷ Κάλλει παρέδωκαν.
καὶ νῦν ἡ Κυθέρεια
ζητεῖ, λύτρα φέρουσα,
λύσασθαι τὸν Ἔρωτα.
κἂν λύσῃ δέ τις αὐτὸν,
οὐκ ἔξεισι, μενεῖ δέ·
δουλεύειν δεδίδακται.

### λά. Εἰς ἑαυτόν.

Ἄφες με τοῖς θεοῖσι
πιεῖν. πιεῖν ἀμυστὶ
θέλω, θέλω μανῆναι.
ἐμαίνετ᾽ Ἀλκμαίων τε,
χ᾽ ὁ λευκόπους Ὀρέστης,
τὰς μητέρας κτανόντες·
ἐγὼ δὲ μηδένα κτὰς,
πιὼν δ᾽ ἐρυθρὸν οἶνον
θέλω, θέλω μανῆναι.
ἐμαίνεθ᾽ Ἡρακλῆς πρὶν

δεινὴν κλονῶν φαρέτρην,
καὶ τόξον Ἰφίτειον.
ἐμαίνετο πρὶν Αἴας
μετ᾽ ἀσπίδος κραδαίνων
τὴν Ἕκτορος μάχαιραν.
ἐγὼ δ᾽ ἔχων κύπελλον
καὶ στέμμα τοῦτο χαίταις,
οὐ τόξον, οὐ μάχαιραν,
θέλω, θέλω μανῆναι.

### λβʹ. Εἰς τοὺς ἑαυτοῦ Ἔρωτας

Εἰ φύλλα πάντα δένδρων
ἐπίστασαι κατειπεῖν,
εἰ κύματ᾽ οἶδας εὑρεῖν
τὰ τῆς ὅλης θαλάσσης,
σὲ τῶν ἐμῶν Ἐρώτων
μόνον ποιῶ λογιστήν.
πρῶτον μὲν ἐξ Ἀθηνῶν
Ἔρωτας εἴκοσιν θὲς,
καὶ πεντεκαίδεκ᾽ ἄλλους.
ἔπειτα δ᾽ ἐκ Κορίνθου
θὲς ὁρμαθοὺς Ἐρώτων·
Ἀχαΐης γάρ ἐστιν,
ὅπου καλαὶ γυναῖκες.
τίθει δὲ Λεσβίους μοι,
καὶ μέχρι τῶν Ἰώνων,
καὶ Καρίης Ῥόδου τε,
δισχιλίους Ἔρωτας. —
τί φής; — αεὶ κηρῷ θές.
οὔπω Σύρους ἔλεξα,
οὔπω πόθους Κανώβου,
οὐ τῆς ἅπαντ᾽ ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
τί σοι θέλεις ἀριθμῶ
καὶ τοὺς Γαδείρων ἐκτὸς,
τοὺς Βακτρίων τε κ᾽ Ἰνδῶν,
ψυχῆς ἐμῆς Ἔρωτας;

## λγ΄. Εἰς χελιδόνα.

Σὺ μὲν, φίλη χελιδὼν,
ἐτησίη μολοῦσα,
θέρει πλέκεις καλιήν·
χειμῶνι δ᾽ εἶς ἄφαντος
ἢ Νεῖλον, ἢ ᾽πὶ Μέμφιν.
Ἔρως δ᾽ ἀεὶ πλέκει μευ
ἐν καρδίῃ καλιήν.
Πόθος δ᾽ ὁ μὲν πτεροῦται,
ὁ δ᾽ ᾠόν ἐστιν ἀκμὴν,
ὁ δ᾽ ἡμίλεπτος ἤδη.
βοὴ δὲ γίγνετ᾽ αἰεὶ
κεχηνότων νεοσσῶν.
Ἐρωτιδεῖς δὲ μικροὺς
οἱ μείζονες τρέφουσιν·
οἱ δὲ τραφέντες εὐθὺς
πάλιν κύουσιν ἄλλους.
τί μῆχος οὖν γένηται;
οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκσοβῆσαι.

## λδ΄. Εἰς κόρην.

Μή με φύγῃς, ὁρῶσα
τὰν πολιὰν ἔθειραν·
μηδ᾽, ὅτι σοι πάρεστιν
ἀκμαῖον ἄνθος ὥρας,
τἀμὰ φίλτρα διώξῃς.
ὅρα κἀν στεφάνοισιν
ὅπως πρέπει τὰ λευκὰ
ῥόδοις κρίνα πλακέντα.

## λέ. Εἰς Εὐρώπης εἰκόνα.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
Ζεύς μοι δοκεῖ τις εἶναι.
φέρει γὰρ ἀμφὶ νώτοις
Σιδωνίην γυναῖκα·
περᾷ δὲ πόντον εὐρὺν,

τέμνει τε κῦμα χηλαῖς.
οὐκ ἂν δὲ ταῦρος ἄλλος
ἐξ ἀγέλης ἐλασθεὶς
ἔπλευσε τὴν θάλασσαν,
εἰ μὴ μόνος γ᾽ ἐκεῖνος.

## λϛ΄. Εἰς τὸ ἀνειμένως ζῆν.

Τί με τοὺς νόμους διδάσκεις
καὶ ῥητόρων ἀνάγκας;
τί δ᾽ ἐμοὶ λόγων τοσούτων
τῶν μηδὲν ὠφελούντων;
μᾶλλον δίδασκε πίνειν
ἁπαλὸν πόμα Λυαίου·
μᾶλλον δίδασκε παίζειν
μετὰ χρυσῆς Ἀφροδίτης.
πολιαὶ κάρα στέφουσι.
δὸς ὕδωρ, βάλ᾽ οἶνον, ὦ παῖ,
τὴν ψυχήν μου κάρωσον.
βραχὺ μὴ ζῶντα καλύπτεις·
ὁ θανὼν οὐκ ἐπιθυμεῖ.

## λζ΄. Εἰς τὸ ἔαρ.

Ἴδε πῶς ἔαρος φανέντος
Χάριτες ῥόδα βρύουσιν.
ἴδε πῶς κῦμα θαλάσσης
ἁπαλύνεται γαλήνῃ.
ἴδε πῶς νῆσσα κολυμβᾷ.
ἴδε πῶς γέρανος ὁδεύει.
ἀφελῶς δ᾽ ἔλαμψε Τιτάν·
νεφελῶν σκιαὶ δονοῦνται·
τὰ βροτῶν δ᾽ ἔλαμψεν ἔργα.
[καρποῖσι γαῖα προκύπτει.]
καρπὸς ἐλαίας προκύπτει,
Βρομίου στέφεται τὸ νᾶμα.
κατὰ φύλλον, κατὰ κλῶνα
καθελὼν ἤνθισε καρπός.

### λη΄. Εἰς ἑαυτόν.

Ἐγὼ γέρων μέν εἰμι,
νέων πλέον δὲ πίνω,
κἂν δεήσῃ με χορεύειν,
σκῆπτρον ἔχω τὸν ἀσκόν·
ὁ νάρθηξ δ᾽ οὐδέν ἐστιν.
ὁ μὲν θέλων μάχεσθαι
παρέστω καὶ μαχέσθω.
ἐμοὶ κύπελλον, ὦ παῖ,
μελιχρὸν οἶνον ἡδὺν
ἐγκεράσας, φόρησον.
ἐγὼ γέρων μέν εἰμι,
Σειληνὸν ἐν μέσοισι
μιμούμενος χορεύσω.

### λθ΄. Εἰς ἑαυτόν.

Ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
τότε μευ ἰανθὲν ἦτορ
Μούσας λιγαίνειν ἄρχεται.
ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
ἀπορίπτονται μέριμναι,
πολυφρόντιδές τε βουλαὶ
ἐς ἁλικτύπους ἀήτας.
ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
λυσιπήμων τότε Βάκχος
πολυανθέσιν μ᾽ ἐν ὥραις
δονέει, μέθῃ γανώσας.
ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
στεφάνους ἄνθεσι πλέξας,
ἐπιθεὶς δὲ τῷ καρήνῳ,
μέλπω βιότου γαλήνην.
ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
μύρῳ εὐώδεϊ τέγξας
δέμας, ἀγκάλαις δὲ κούρην
κατέχων, Κύπριν ἀείδω.
ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
ὑπὸ κυρτοῖσι κυπέλλοις
τὸν ἐμὸν νόον ἁπλώσας,

θιάσῳ τέρπομαι κούρων.
ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
τόδ᾽ ἐμοὶ μόνον τὸ κέρδος,
τόδ᾽ ἐγὼ λαβὼν ἀποίσω.
τὸ θανεῖν γὰρ μετὰ πάντα.

## μ΄. Εἰς Ἔρωτα.

Ἔρως ποτ᾽ ἐν ῥόδοισι
κοιμωμένην μέλισσαν
οὐκ εἶδεν, ἀλλ᾽ ἐτρώθη
τὸν δάκτυλον. πατάξας
τὰς χεῖρας, ὠλόλυξε·
δραμὼν δὲ καὶ πετασθεὶς
πρὸς τὴν καλὴν Κυθήρην,
ὄλωλα, μῆτερ, εἶπεν,
ὄλωλα, κἀποθνήσκω.
ὄφις μ᾽ ἔτυψε μικρὸς,
πτερωτὸς, ὃν καλοῦσι
μέλισσαν οἱ γεωργοί.
ἡ δ᾽ εἶπεν· εἰ τὸ κέντρον
πονεῖ τὸ τῆς μελίσσης,
πόσον δοκεῖς πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

## μα΄. Εἰς συμπόσιον.

Ἱλαροὶ πίωμεν οἶνον,
ἀναμέλψομεν δὲ Βάκχον,
τὸν ἐφευρετὰν χορείας,
τὸν ὅλας ποθοῦντα μολπὰς,
τὸν ὁμότροπον Ἔρωτι,
τὸν ἐρώμενον Κυθήρης·
δι᾽ ὃν ἡ Μέθη λοχεύθη,
δι᾽ ὃν ἡ Χάρις ἐτέχθη,
δι᾽ ὃν ἀμπαύεται Λύπα,
δι᾽ ὃν εὐνάζετ᾽ Ἀνία.
τὸ μὲν οὖν πόμα κερασθὲν
ἁπαλοὶ φέρουσι παῖδες·
τὸ δ᾽ ἄχος πέφευγε μιχθὲν

ἀνεμοτρόφῳ θυέλλῃ.
τὸ μὲν οὖν πόμα λάβωμεν,
τὰς δὲ φροντίδας μεθῶμεν.
τί γάρ ἐστι σοὶ τὸ κέρδος
ὀδυνωμένῳ μερίμναις;
πόθεν οἴδαμεν τὸ μέλλον;
ὁ βίος βροτοῖς ἄδηλος.
μεθύων θέλω χορεύειν,
μεμυρισμένος δὲ παίζειν
– – – – – – –
μετὰ καὶ καλῶν γυναικῶν.
μελέτω δὲ τοῖς θέλουσιν
ὅσον ἐστὶν ἐν μερίμναις.
ἱλαροὶ πίωμεν οἶνον,
ἀναμέλψομεν δὲ Βάκχον.

### μβ΄. Εἰς ἑαυτόν.

Ποθέω μὲν Διονύσου
φιλοπαίγμονος χορείας·
φιλέω δ᾽, ὅταν ἐφήβου
μετὰ συμπότου λυρίζω.
στεφανίσκους δ᾽ ὑακίνθων
κροτάφοισιν ἀμφιπλέξας,
μετὰ παρθένων ἀθύρειν
φιλέω μάλιστα πάντων.
φθόνον οὐκ οἶδ᾽ ἐμὸν ἦτορ,
φθόνον οὐκ οἶδα δαΐκτην.
φιλολοιδόροιο γλώττης
φεύγω βέλεμνα κωφά.
στυγέω μάχας παροίνους
πολυκώμους κατὰ δαῖτας,
νεοθηλέσ᾽ ἅμα κούραις
ὑπὸ βαρβίτῳ χορεύων.
βίον ἥσυχον φέρωμεν.

### μγ΄. Εἰς τέττιγα.

Μακαρίζομέν σε, τέττιξ,
ὅτε δενδρέων ἐπ᾽ ἄκρων

ὀλίγην δρόσον πεπωκὼς,
βασιλεὺς ὅπως, ἀείδεις.
σὰ γάρ ἐστι κεῖνα πάντα,
χ᾽ ὁπόσα βλέπεις ἐν ἀγροῖς,
χ᾽ ὁπόσα φέρουσιν ὗλαι.
σὺ δὲ φίλιος γεωργῶν,
ἀπὸ μηδενός τι βλάπτων·
σὺ δὲ τίμιος βροτοῖσι,
θέρεος γλυκὺς προφήτης.
φιλέουσι μέν σε Μοῦσαι,
φιλέει δὲ Φοῖβος αὐτὸς,
λιγυρὴν δ᾽ ἔδωκεν οἴμην.
τὸ δὲ γῆρας οὔ σε τείρει,
σοφὲ, γηγενὴς, φίλυμνε,
ἀπαθὴς, ἀναιμόσαρκε·
σχεδὸν εἶ θεοῖς ὅμοιος.

## μθ΄. Εἰς τὸ ἑαυτοῦ ὄνειρον.

Ἐδόκουν ὄναρ τροχάζειν,
πτέρυγας φέρων ἐπ᾽ ὤμων·
ὁ δ᾽ Ἔρως ἔχων μόλυβδον
περὶ τοῖς καλοῖς ποδίσκοις
ἐδίωκε καὶ κίχανε.
τί θέλει τόδ᾽ ὄναρ εἶναι;
δοκέω δ᾽ ἔγωγε πολλοῖς
ἐν Ἔρωσί με πλακέντα
διολισθανεῖν ἐν ἄλλοις,
ἑνὶ τῷδε συνδεθῆναι.

## μέ. Εἰς τὰ τοῦ Ἔρωτος βέλη.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
παρὰ Λημνίαις καμίνοις
τὰ βέλη τὰ τῶν Ἐρώτων
ἐποίει, λαβὼν σίδηρον.
ἀκίδας δ᾽ ἔβαπτε Κύπρις,
μέλι τὸ γλυκὺ λαβοῦσα·
ὁ δ᾽ Ἔρως χολὴν ἔμισγεν.
ὁ δ᾽ Ἄρης ποτ᾽ ἐξ ἀϋτῆς

στιβαρὸν δόρυ κραδαίνων
βέλος ἠὐτέλιζ' Ἔρωτος·
ὁ δ' Ἔρως, τόδ' ἐστὶν, εἶπε,
βαρύ· πειράσας νοήσεις.
ἔλαβεν βέλεμνον Ἄρης,
ὑπεμειδίασε Κύπρις.
ὁ δ' Ἄρης ἀναστενάξας,
βαρὺ, φησίν· ἆρον αὐτό.
ὁ δ' Ἔρως, ἔχ' αὐτὸ, φησί.

## μϛ'. Εἰς Ἔρωτα.

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
χαλεπὸν δὲ καὶ φιλῆσαι·
χαλεπώτερον δὲ πάντων
ἀποτυγχάνειν φιλοῦντα.
γένος, οὐδὲν εἰς Ἔρωτα·
σοφίη, τρόπος πατεῖται·
μόνον ἄργυρον βλέπουσιν.
ἀπόλοιτο πρῶτος αὐτὸς
ὁ τὸν ἄργυρον φιλήσας.
διὰ τοῦτον οὐκ ἀδελφὸς,
διὰ τοῦτον οὐ τοκῆες·
πόλεμοι, φόνοι δι' αὐτόν.
τὸ δὲ χεῖρον, ὀλλύμεσθα
διὰ τοῦτον οἱ φιλοῦντες.

## μζ'. Εἰς γέροντα.

Φιλῶ γέροντα τερπνὸν,
φιλῶ νέον χορευτάν.
γέρων δ' ὅταν χορεύῃ,
τρίχας γέρων μέν ἐστι,
τὰς δὲ φρένας νεάζει.

## μη'. Εἰς Διόνυσον.

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ
νέον, ἐν πόθοις ἀταρβῆ,
καλὸν ἐν πότοις χορευτὴν

τελέων θεὸς κατῆλθεν,
ἁπαλὸν βροτοῖσι φίλτρον,
πότον ἄστονον κομίζων,
γόνον ἀμπέλου, τὸν οἶνον,
πεπεδημένον ὀπώραις
ἐπὶ κλημάτων φυλάττων,
ἵν', ὅταν τάμωσι βότρυν,
ἄνοσοι μένωσι πάντες,
ἄνοσοι δέμας θεητὸν,
ἄνοσοι γλυκύν τε θυμὸν,
ἐς ἔτους φανέντος ἄλλου.

## ρθ'. Εἰς δίσκον ἔχοντα Ἀφροδίτην.

Ἄρα τις τόρευσε πόντον,
ἄρα τις μανεῖσα τέχνα
ἀνέχευε κῦμα δίσκῳ,
ἐπὶ νῶτα τῆς θαλάσσης;
ἄρα τις ὑπὲρ θάλασσαν
ἁπαλὰν χάραξε Κύπριν,
νόος ἐς θεοὺς ἀερθεὶς,
μακάρων φύσιος ἀρχάν;
ὁ δέ νιν ἔδειξε γυμνὰν,
ὅσα μὴ θέμις δ' ὁρᾶσθαι,
μόνα κύμασιν καλύπτει.
ἀλαλημένη δ' ἐπ' αὐτὰ,
βρύον ὡς ὕπερθε λευκὸν
ἁπαλοχρόους γαλήνας,
δέμας ἐς πλόον φέρουσα,
ῥόθιον πάροιθεν ἕλκει.
ῥοδέων δ' ὕπερθε μαζῶν,
ἁπαλῆς ἔνερθε δειρῆς
μέγα κῦμα πρῶτα τέμνει.
μέσον αὔλακος δὲ Κύπρις,
κρίνον ὡς ἴοις ἑλιχθὲν
διαφαίνεται γαλήνας.
ὑπὲρ ἀργύρῳ δ' ὀχοῦνται
ἐπὶ δελφῖσιν χορευταῖς
δολερὸν νόον μερόπων

Ἔρως, Ἵμερος, γελῶντες·
χορὸς ἰχθύων δὲ κυρτὸς
ἐπὶ κυμάτων κυβιστῶν
Παφίης τὸ σῶμα παίζει,
ἵνα νήχεται γελῶσα.

### ν'. Ἐπιλήνιος ᾠδή.

Τὸν μελανόχρωτα βότρυν
ταλάροις φέρουσιν ἄνδρες
μετὰ παρθένων ἐπ' ὤμων·
κατὰ ληνὸν δὲ βαλόντες
μόνον ἄρσενες πατοῦσι
σταφυλὴν, λύοντες οἶνον,
μέγα τὸν θεὸν κροτοῦντες
ἐπιληνίοισιν ὕμνοις,
ἐρατὸν πίθοις ὁρῶντες
νέον ἐς ζέοντα Βάκχον,
ὃν ὅταν πίῃ γεραιὸς,
τρομεροῖς ποσὶν χορεύει
πολιὰς τρίχας τινάσσων·
ὁ δὲ παρθένον λοχήσας
ἐρατὸς νέος μεθυσθεὶς,
ἁπαλὸν δέμας χυθεῖσαν
σκιερῶν ὕπερθε φύλλων,
βεβαρημένην ἐς ὕπνον,
ἐς ἔρωτ' ἄωρα θέλγει,
προδότιν γάμων γενέσθαι·
ὁ δὲ μὴ λόγοισι πείθων
τότε μὴ θέλουσαν ἄγχει.
μετὰ γὰρ νέων ὁ Βάκχος
μεθύων ἄτακτα παίζει.

### να'. Εἰς ῥόδον.

Στεφανηφόρου μετ' ἦρος
μέλπομαι ῥόδον τέρεινον·
σὺν, ἑταίρα, δεῖ μέλπειν.
τόδε γὰρ θεῶν ἄημα,
τόδε καὶ βροτῶν χάρημα.

Χάρισίν τ' ἄγαλμ' ἐν ὥραις
πολυανθέων Ἐρώτων,
Ἀφροδίσιόν τ' ἄθυρμα.
τόδε καὶ μέλημα μύθοις,
χαρίεν φυτόν τε Μουσῶν.
γλυκὺ καὶ ποιοῦντι πεῖραν
ἐν ἀκανθίναις ἀταρποῖς·
γλυκὺ δ' αὖ λαβόντι θάλπειν
μαλακαῖσι χερσὶ, κούφως
προσάγοντ' Ἔρωτος ἄνθος.
ὡς τὸ φῶς τόδ' αὐτὸ τερπνὸν
θαλίαις τε καὶ τραπέζαις,
Διονυσίαις θ' ἑορταῖς.
τί δ' ἄνευ ῥόδου γένοιτ' ἄν;
ῥοδοδάκτυλος μὲν Ἠὼς,
ῥοδοπήχεες δὲ Νύμφαι·
ῥοδόχρους δὲ κ' Ἀφροδίτα
παρὰ τῶν σοφῶν καλεῖται.
τόδε καὶ νόσοισιν ἀρκεῖ,
τόδε καὶ νεκροῖς ἀμύνει,
τόδε καὶ χρόνον βιᾶται·
χαρίεν ῥόδων δὲ γῆρας
νεότητος ἔσχεν ὀδμήν.
φέρε δὴ φύσιν λέγωμεν.
χαροπῆς ὅτ' ἐκ θαλάσσης
δεδροσωμένην Κυθήρην
ἐλόχευε Πόντος ἀφρῷ,
πολεμόκλονόν τ' Ἀθήνην
κορυφῆς ἔδεικνυε Ζεὺς,
φοβερὴν θέαν Ὀλύμπῳ,
τότε καὶ ῥόδων ἀγητῶν
νέον ἔρνος ἤνθισε Χθὼν,
πολυδαίδαλον λόχευμα.
μακάρων θεῶν δ' ὅμιλος,
ῥόδον ὡς γένοιτο, νέκταρ
ἐπιτέγξας, ἀνέτειλεν
ἀγέρωχον ἐξ ἀκάνθης
φυτὸν ἄμβροτον Λυαίου.

## νβ΄. Εἰς ἑαυτόν.

Ὅτ᾽ ἐγὼ νέων ὅμιλον
ἐσορῶ, πάρεστιν ἥβα.
τότε δὴ, τότ᾽ ἐς χορείην
ὁ γέρων ἐγὼ πτεροῦμαι.
περίμεινόν με, Κυβήβα,
παράδος, θέλω στέφεσθαι.
πολιὸν ἑκὰς δὲ γῆρας·
νέος ἐν νέοις χορεύσω.
Διονυσίης δ᾽ ἐμοί τις
φερέτω ῥόον ἀπ᾽ ὀπώρης,
ἵν᾽ ἴδη γέροντος ἀλκὴν
δεδαηκότος μὲν εἰπεῖν,
δεδαηκότος δὲ πίνειν,
χαριέντως τε μανῆναι.

## νγ΄. Εἰς ἐρῶντας.

Ἐπ᾽ ἰσχίοις μὲν ἵπποι
πυρὸς χάραγμ᾽ ἔχουσι·
καὶ Παρθίους τις ἄνδρας
ἐγνώρισεν τιάραις·
ἐγὼ δὲ τοὺς ἐρῶντας
ἰδὼν ἐπίσταμ᾽ εὐθύς.
ἔχουσι γάρ τι λεπτὸν
ψυχῆς ἔσω χάραγμα.

## νδ΄.

Πολιοὶ μὲν ἡμὶν ἤδη
κρόταφοι, κάρη δὲ λευκόν·
χαρίεσσα δ᾽ οὐκ ἔθ᾽ ἥβη
πάρα· γηραλέοι δ᾽ ὀδόντες·
γλυκεροῦ δ᾽ οὐκ ἔτι πολλὸς
βιότου χρόνος λέλειπται.
διὰ ταῦτ᾽ ἀνασταλύζω
θαμὰ, Τάρταρον δεδοικώς.
Ἀΐδεω γάρ ἐστι δεινὸς
μυχὸς, ἀργαλέη δ᾽ ἐς αὐτὸν

κάθοδος· καὶ γὰρ ἕτοιμον
καταβάντι μὴ 'ναβῆναι.

νέ.

Ἄγε δὴ φέρ' ἡμὶν, ὦ παῖ,
κελέβην, ὅπως ἄμυστιν
προπίω. τὰ μὲν δέκ' ἔγχει
ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθοις, ὡς ἀνυβριστὶ
ἀναδεύων βασσαρήσω.
* * * *
ἄγε δῶτε, μηκέθ' οὕτω
πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις —

νϛ'.

Τὸν Ἔρωτα γὰρ τὸν ἁβρὸν
μέλπομαι βρύοντα μίτραις
πολυανθέμοις, ἀείδων.
ὅδε καὶ θεῶν δυνάστης·
ὅδε καὶ βροτοὺς δαμάζει.

νζ'.

Γουνοῦμαί σ', ἐλαφηβόλε,
ξανθὴ παῖ Διὸς, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρῶν.
ἵκου νῦν ἐπὶ Ληθαίου
δίνησι, θρασυκαρδίων
ἀνδρῶν ἐγκαθόρα πόλιν
χαίρουσ'· οὐ γὰρ ἀνημέρους
ποιμαίνεις πολιήτας.

νή.

Πῶλε Θρηϊκίη, τί δή με
λοξὸν ὄμμασι βλέπουσα

νηλεῶς φεύγεις, δοκέεις δέ
μ' οὐδὲν εἰδέναι σοφόν;
ἴσθε τοι, καλῶς μὲν ἂν σοι
τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ' ἔχων στρέφοιμι
ἀμφὶ τέρματα δρόμου.
νῦν δὲ λειμῶνάς τε βόσκεαι,
κοῦφά τε σκιρτῶσα παίζεις·
δεξιὸν γὰρ ἱπποπείρην
οὐκ ἔχεις ἐπεμβάτην.

νθ'.

Ἅτε νεβρὸν νεοθηλέα γαλαθηνὸν, ὅστ' ἐν ὕλη
κεροέσσης ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

ξ'.

Ἀπό μοι θανεῖν γένοιτ'. οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

ξα'.

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,
φέρε δ' ἀνθεμεῦντας ἡμῖν
στεφάνους· ἔνεικον, ὡς μὴ
πρὸς Ἔρωτα πυκταλίζω.

ξβ'.

Ἐπὶ δ' ὀφρύσιν σελίνων
στεφανίσκους θέμενοι, νῦν
θάλειαν ἑορτὴν
ἀγάγωμεν Διονύσῳ.

ξγ'.

Ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ' οὐκ αἴεις
οὐκ εἰδὼς, ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

ξδ΄.

Ἐμὲ γὰρ λόγων ἕκητι
οἱ παῖδες ἂν φιλοῖεν.
χαρίεντα μὲν γὰρ ᾄδω,
χαρίεντα δ᾽ οἶδα λέξαι.

ξε΄.

Μεγάλῳ δ᾽ ηὖτέ μ᾽ Ἔρως ἔκοψεν, ὥστε χαλκεὺς,
πελέκει, χειμερίῃ δ᾽ ἔλουσεν ἐν χαράδρῃ.

ξϛ΄.

Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλὰς,
οἴνου δ᾽ ἐξέπιον κάδον· νῦν δ᾽ ἁβρῶς ἐρόεσσαν
ψάλλω πηκτίδα, τῇ φίλῃ κωμάζων παιδὶ ἁβρῇ.

ξζ΄.

Οὐ φίλος, ὃς κρατῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει·
ἀλλ᾽ ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ᾽ Ἀφροδίτης
συμμίσγων, ἐρατῆς μνήσκεται εὐφροσύνης.

## ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ
# ΗΜΙΑΜΒΙΑ
## ΑΝΑΚΡΕΟΝΤΕΙΑ.

### α΄. *ΒΑΣΙΛΕΙΟΥ.*

Ἀνακρέων ἰδών με,
ὁ Τήϊος μελῳδὸς,
ὄναρ λέγων προσεῖπε.
κἀγὼ δραμὼν πρὸς αὐτὸν
περιπλάκην φιλήσας.
γέρων μὲν ἦν, καλὸς δὲ,
καλός τε καὶ φίλευνος.
τὸ χεῖλος ὦζεν οἴνου.
τρέμοντα δ᾽ αὐτὸν ἤδη
Ἔρως ἐχειραγώγει.
ὁ δ᾽ ἐξελὼν καρήνου
ἐμοὶ στέφος δίδωσι·
τὸ δ᾽ ὦζ᾽ Ἀνακρέοντος.
ἐγὼ δ᾽ ὁ μωρὸς ἄρας
ἐδησάμην μετώπῳ·
καὶ δῆθεν ἄχρι καὶ νῦν
ἔρωτος οὐ πέπαυμαι.

### β΄. *ΤΟΥ ΑΥΤΟΥ.*

Δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς.
φέρε μοι κύπελλα θεσμῶν,

φέρε μοι νόμους κεράσσω,
μεθύων ὅπως χορεύσω·
ὑπὸ σώφρονος δὲ λύσσης
μετὰ βαρβίτων ἀείδων
τὸ παροίνιον βοήσω.

γ'. ΤΟΥ ΑΥΤΟΥ.

Πρὸς ζωγράφον.

Ἄγε, ζωγράφων ἄριστε,
λυρικῆς ἄκουε Μούσης,
φιλοπαίγμονός τε Βάκχου
ἑτεροπνόους ἐναύλους.
γράφε τὰς πόλεις τὸ πρῶτον
ἱλαράς τε καὶ γελώσας.
ὁ δὲ κηρὸς εἰ δύναιτο,
γράφε καὶ νόμους φιλούντων.

δ'. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Στέφος πλέκων ποθ' εὗρον
ἐν τοῖς ῥόδοις Ἔρωτα,
καὶ τῶν πτερῶν κατασχὼν
ἐβάπτισ' εἰς τὸν οἶνον,
λαβὼν δ' ἔπινον αὐτόν·
καὶ νῦν ἔσω μελῶν μου
πτεροῖσι γαργαλίζει.

ε'. ΘΕΟΚΡΙΤΟΥ.

Εἰς νεκρὸν Ἄδωνιν.

Ἄδωνιν ἡ Κυθήρη
ὡς εἶδε νεκρὸν ἤδη,
στυγνὰν ἔχοντα χαίταν,
ὠχράν τε τὰν παρειὰν,
ἄγειν τὸν ὗν πρὸς αὐτὰν
ἔταξε τὼς Ἔρωτας.
οἱ δ' εὐθέως, ποτανοὶ
πᾶσαν δραμόντες ὕλαν,
στυγνὸν τὸν ὗν ἀνεῦρον,

δῆσάν τε κἀπέδησαν.
χῷ μὲν, βρόχῳ καθάψας,
ἔσυρεν αἰχμάλωτον·
ὁ δ', ἐξόπισθ' ἐλαύνων,
ἔτυπτε τοῖσι τόξοις.
ὁ θὴρ δ' ἔβαινε δειλῶς·
φοβεῖτο γὰρ Κυθήραν.
τῷ δ' εἶπεν Ἀφροδίτα·
πάντων κάκιστε θηρῶν,
σὺ τόνδε μηρὸν ἴψω;
σύ μευ τὸν ἄνδρ' ἔτυψας;
ὁ θὴρ δ' ἔλεξεν ὧδε·
ὄμνυμί σοι, Κυθήρα,
αὐτάν σε, καὶ τὸν ἄνδρα,
καὶ ταῦτ' ἐμεῦ τὰ δεσμὰ,
καὶ τώσδε τὼς κυναγὼς,
τὸν ἄνδρα τὸν καλόν σευ
οὐκ ἤθελον πατάξαι·
ἀλλ' ὡς ἄγαλμ' ἐσεῖδον,
καὶ μὴ φέρων τὸ καῦμα,
γυμνὸν τὸν εἶχε μηρὸν
ἐμαινόμαν φιλᾶσαι,
καί μευ ἔσινε κραντήρ.
τούτους λαβοῖσα, Κύπρι,
τούτους κόλαζε, τέμνε,
(τί γὰρ φέρω περισσώς;)
ἐρωτικὼς ὀδόντας.
αἰ δ' οὐχί σοι τάδ' ἀρκεῖ,
καὶ ταῦτ' ἐμεῦ τὰ χείλη.
τί γὰρ φιλεῖν ἐτόλμων;
τὸν δ' ἠλέησε Κύπρις,
εἶπέν τε τοῖς Ἔρωσι
τὰ δεσμά οἱ 'πιλῦσαι.
ἐκ τῶδ' ἐπηκολούθει,
κἠς ὕλαν οὐκ ἔβαινε·
καὶ δὴ πυρὶ προσελθὼν
ἔκαιε τὼς ἔρωτας.

# ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ
# ΕΠΙΓΡΑΜΜΑΤΑ
# ΕΙΣ ΑΝΑΚΡΕΟΝΤΑ.

## *ΣΙΜΩΝΙΔΟΥ.*

*Οὗτος Ἀνακρείοντα, τὸν ἄφθιτον εἵνεκα Μουσῶν*
*ὑμνοπόλον, πάτρης τύμβος ἔδεκτο Τέω,*
*ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων,*
*τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.*
*μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων*
*ἠέλιον, Λήθης ἐνθάδ' ἔκυρσε δόμων·*
*ἀλλ' ὅτι τὸν χαρίεντα μετ' ἠϊθέοισι Μεγιστέα,*
*καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον.*
*μολπῆς δ' οὐ λῆγε μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνο*
*βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.*

## *ΤΟΥ ΑΥΤΟΥ.*

*Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρης,*
*οὔλης ἣ σκολιὸν πλέγμα φύεις ἕλικος,*
*Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ*
*στήλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου,*
*ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος*
*παννύχιος κρούων τὴν φιλόπαιδα χέλυν,*
*κἠν χθονὶ πεπτηὼς, κεφαλῆς ἐφύπερθε φέροιτο*
*ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,*

καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

## ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Ἴδ᾽ ὡς ὁ πρέσβυς ἐκ μέθας Ἀνακρέων
ὑπεσκέλισται, καὶ τὸ λῶπος ἕλκεται
ἐσάχρι γυίων· τῶν δὲ βλαυτίων τὸ μὲν
ὅμως φυλάσσει, θάτερον δ᾽ ἀπώλεσε.
μελίσδεται δὲ, τὰν χέλυν διακρέκων,
ἤτοι Βάθυλλον, ἢ καλὸν Μεγιστέα.
φύλασσε, Βάκχε, τὸν γέροντα, μὴ πέσῃ.

## ΤΟΥ ΑΥΤΟΥ.

Πρέσβυν Ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ
θάεο, δινωτοῦ στρεπτὸν ὕπερθε λίθου,
ὡς ὁ γέρων λίχνοισιν ἐπ᾽ ὄμμασιν ὑγρὰ δεδορκὼς
ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν·
δισσῶν δ᾽ ἀρβυλίδων τὰν μὲν μίαν, οἷα μεθυπλὴξ,
ὤλεσεν· ἐν δ᾽ ἑτέρᾳ ῥικνὸν ἄραρε πόδα.
μέλπει δ᾽ ἠὲ Βάθυλλον ἐφίμερον, ἠὲ Μεγιστέα,
αἰωρῶν παλάμᾳ τὰν δυσέρωτα χέλυν.
ἀλλὰ πάτερ Διόνυσε, φύλασσέ μιν· οὐ γὰρ ἔοικεν
ἐκ Βάκχου πίπτειν Βακχιακὸν θέραπα.

## ΘΕΟΚΡΙΤΟΥ.

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον, ὦ ξένε,
σπουδᾷ· καὶ λέγ᾽, ἐπὴν ἐς οἶκον ἔνθῃς,
Ἀνακρέοντος εἰκόν᾽ εἶδον ἐν Τέῳ,
τῶν πρόσθ᾽ εἴ τι περισσὸν ᾠδοποιῶν·
προσθεὶς δὲ χᾦτι τοῖς νέοισιν ἅδετο,
ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

## ΔΙΟΣΚΟΡΙΔΟΥ.

Σμερδίῃ ἐπὶ Θρῃκὶ τακεὶς καὶ ἐς ἔσχατον ὀστεῦν,
κώμου καὶ πάσης κοίρανε παννυχίδος,

τερπνότατε Μούσῃσιν Ἀνάκρεον, ὦ 'πὶ Βαθύλλῳ
χλωρὸν ὑπὲρ κυλίκων πολλάκι δάκρυ χέας,
αὐτόματαί σοι κρῆναι ἀναβλύζοιεν ἄκρητον,
κὴκ μακάρων προχοαὶ νέκταρος ἀμβροσίου·
αὐτόματοι δὲ φέροιεν ἴον, τὸ φιλέσπερον ἄνθος,
κῆποι, καὶ μαλακῇ μύρτα τρέφοιντο δρόσῳ,
ὄφρα καὶ ἐν Δηοῦς οἰνωμένος ἁβρὰ χορεύσῃς,
βεβληκὼς χρυσέην χεῖρας ἐπ' Εὐρυπύλην.

## ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφὶ σὲ κισσὸς,
ἁβρά τε λειμώνων πορφυρέων πέταλα·
πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος,
εὐῶδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ,
ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται,
εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα,
ὦ τὸ φίλον στέρξας, φίλε, βάρβιτον, ὦ σὺν ἀοιδᾷ
πάντα διαπλώσας καὶ σὺν ἔρωτι βίον.

## ΤΟΥ ΑΥΤΟΥ.

Εἴης ἐν μακάρεσσιν, Ἀνάκρεον, εὖχος Ἰώνων,
μήτ' ἐρατῶν κώμων ἄνδιχα, μήτε λύρης·
ὑγρὰ δὲ δερκομένοισιν ἐν ὄμμασιν οὖλον ἀείδοις,
αἰθύσσων λιπαρῆς ἄνθος ὕπερθε κόμης,
ἠὲ πρὸς Εὐρυπύλην τετραμμένος, ἠὲ Μεγιστῆ,
ἢ Κίκονα Θρηκὸς Σμερδίεω πλόκαμον,
ἡδὺ μέθυ βλύζων, ἀμφίβροχος εἵματα Βάκχῳ,
ἄκρητον θλίβων νέκταρ ἀπὸ στολίδων.
τρισσοῖς γὰρ, Μούσῃσι, Διωνύσῳ καὶ Ἔρωτι,
πρέσβυ, κατεσπείσθη πᾶς ὁ τεὸς βίοτος.

## ΤΟΥ ΑΥΤΟΥ.

Εὕδεις ἐν φθιμένοισιν, Ἀνάκρεον, ἐσθλὰ πονήσας,
εὕδει δ' ἡ γλυκερὴ νυκτιλάλος κιθάρα,
εὕδει καὶ Σμέρδις, τὸ πόθων ἔαρ, ᾧ σὺ μελίσδων,
βάρβιτ', ἀνεκρούου νέκταρ ἐναρμόνιον.

ἠϊθέου γὰρ Ἔρωτος ἔφυς σκοπός· ἐς δὲ σὲ μοῦνον
τόξα τε καὶ σκολιὰς εἶχεν ἐκηβολίας.

## ΤΟΥ ΑΥΤΟΥ.

Ξεῖνε, τάφον παρὰ λιτὸν Ἀνακρείοντος ἀμείβων,
εἴ τί τοι ἐκ βίβλων ἦλθεν ἐμῶν ὄφελος,
σπεῖσον ἐμῇ σποδιῇ, σπεῖσον γάνος, ὄφρα κεν οἴνῳ
ὀστέα γηθήσῃ τἀμὰ νοτιζόμενα,
ὡς ὁ Διωνύσοιο λελασμένος οὔ ποτε κώμων,
ὡς ὁ φιλακρήτου σύντροφος ἁρμονίης,
μηδὲ καταφθίμενος Βάκχου δίχα τοῦτον ὑποίσω
τὸν γενεῇ μερόπων χῶρον ὀφειλόμενον.

## ΤΟΥ ΑΥΤΟΥ.

Τύμβος Ἀνακρείοντος· ὁ Τήϊος ἐνθάδε κύκνος
εὕδει, χ' ἡ παίδων ζωροτάτη μανίη.
ἀκμὴν λειριόεντι μελίζεται ἀμφὶ Βαθύλλῳ
ἵμερα, καὶ κισσοῦ λευκὸς ὄδωδε λίθος.
οὐδ' Ἀΐδης σοι ἔρωτας ἀπέσβεσεν, ἐν δ' Ἀχέροντος
ὢν, ὅλος ὠδίνεις Κύπριδι θερμοτέρῃ.

## ΕΥΓΕΝΟΥΣ.

Τὸν τοῖς μελιχροῖς Ἱμέροισι σύντροφον,
Λυαῖ', Ἀνακρέοντα, Τήϊον κύκνον,
ἔσφηλας ὑγρῇ νέκταρος μεληδόνι.
λοξὸν γὰρ αὐτοῦ βλέμμα, καὶ περὶ σφυροῖς
ῥιφεῖσα λώπευς πέζα, καὶ μονοζυγὲς
μέθην ἐλέγχει σάνδαλον· χέλυς δ' ὅμως
τὸν εἰς Ἔρωτας ὕμνον ἀγλαΐζεται.
ἄπτωτα τήρει τὸν γεραιὸν, Εὔϊε.

## ΑΔΕΣΠΟΤΟΝ.

Τήϊον ἀμφοτέρων με βλέπεις ἀκόρεστον ἐρώτων
πρέσβυν, ἴσον κούροις, ἶσον ἀδόντα κόραις.
ὄμμα δέ μευ Βρομίῳ βεβαρημένον, ἠδ' ἀπὸ κώμων
τερπνὰ φιλαγρύπνων σήματα παννυχίδων.

## ΑΛΛΟ.

Ὦ ξένε, τόνδε τάφον τὸν Ἀνακρείοντος ἀμείβων,
σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.

## ΑΛΛΟ.

Πολλὰ πιὼν τέθνηκας, Ἀνάκρεον. Ἀλλὰ τρυφήσας·
καὶ σὺ δὲ μὴ πίνων ἵξεαι εἰς Ἀΐδην.

## ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ.

Πολλάκι μὲν τόδ' ἄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω·
Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

# ΕΚ ΤΩΝ ΣΑΠΦΟΥΣ ΛΕΙΨΑΝΑ ΤΙΝΑ.

## α'. ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

Ποικιλόθρον', ἀθάνατ' Ἀφροδίτα,
παῖ Διὸς, δολοπλόκε, λίσσομαί σε,
μή μ' ἄσαισι, μηδ' ἀνίαισι δάμνα,
πότνια, θῦμον.
ἀλλὰ τυῒδ' ἔλθ', αἴ ποκα κἀτέρωτα
τᾶς ἐμᾶς αὔδας ἀΐοισα πόλλυ
ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα,
χρύσεον ἦλθες
ἄρμ' ὑποζεύξασα, κάλοὶ δέ σ' ἆγον
ὠκέες στροῦθοι, περὶ γᾶς μελαίνας
πύκνα δινῦντες πτέρ' ἀπ' ὠρανῶ, αἰθέ-
ρος διὰ μέσσω·
αἶψ' ἀλλ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσασ' ἀθανάτω προσώπω,
ἤρε' ὄ ττι γ' ἦν τὸ πέπονθα, κ' ὄ ττι
δή σε κάλημι,
κ' ὄ ττι ἐμῶ μάλιστ' ἐθέλω γενέσθαι
μαινόλα θύμω, τίνα δ' αὖτε πειθη-
μι σαγήνεσσαν φιλότατα· τίς σ', ὦ
Σαπφοῖ, ὑβρίζει;
καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει·
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλάσει,
ἢ οὔ κεν ἐθέλλοις.

ἔλθ᾽ ἐμοὶ καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὅσσα δ᾽ ἐμοὶ τελέσσαι
θῦμος ἱμέῤῥει, τέλεσον· τὺ δ᾽ αὐτὰ
σύμμαχος ἔσσο.

## β΄. ΠΡΟΣ ΓΥΝΑΙΚΑ ΕΡΩΜΕΝΗΝ.

Φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
ἔμμεν ὠνὴρ, ὅστις ἐναντίος τοι
ἰσδάνει, καὶ πλασίον ἀδὺ φωνά-
σαί σ᾽ ὑπακούει,
καὶ γελάϊς ἱμερόεν· τό μοι ᾽μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν.
ὡς γὰρ εἴδω σε, βροχέως με φωνᾶς
οὐδὲν ἔτ᾽ ἴκει·
ἀλλὰ καμμὲν γλῶσσα ἔαγε, λέπτον δ᾽
αὐτίκα χρῷ πῦρ ὑποδεδρόμακεν,
ὀππάτεσσιν δ᾽ οὐδὲν ὄρημι, βομβεῦ-
σιν δ᾽ ἀκοαί μοι·
καδδ᾽ ἰδρὼς ψύχρος χέεται, τρόμος δὲ
πᾶσαν ἀγρεῖ, χλωροτέρα δὲ ποίας
ἐμμί· τεθνάκην δ᾽ ὀλίγω ᾽πιδεῦσα,
φαίνομαι ἄπνους.
ἀλλὰ πᾶν τολματὸν, ἐπεὶ πένητα - - -
* * * * * *

## γ΄ Πρὸς πλουσίαν, ἀλλ᾽ ἀμαθῆ καὶ ἄμουσον γυναῖκα.

Κατθανοῖσα δὲ κείσεαι·
οὐδέ τι μναμοσύνα σέθεν
ἔσσεται οὐδέποκ᾽ ὕστερον·
οὐ γὰρ πεδέχεις βρόδων
τῶν ἐκ Πιερίας. ἀλλ᾽ ἀφανὴς
κὴν ᾽Αΐδα δόμοις φοιτάσεις.
οὐδεὶς δέ σε βλέψει πεδαυρον
νεκύων ἐκπεποταμέναν.

δ΄.

Ἔλθε, Κύπρι, χρυσείαισιν
ἐν κυλίκεσσιν ἁβροῖς
συμμεμιγμένον θαλίαισι
νέκταρ οἰνοχοεῦσα
τούτοισι τοῖς ἑταίροις
ἐμοῖς γε καὶ σοῖς.

ε΄.

Γλυκεῖα μᾶτερ, οὔ τι δύναμαι κρέκειν τὸν ἱστὸν,
πόθῳ δαμεῖσα παιδὸς, βραδινὰν δι᾽ Ἀφροδίταν.

ϛ΄.

Δέδυκε μὲν ἁ Σελάνα
καὶ Πληϊάδες, μέσαι δὲ
νύκτες, παρὰ δ᾽ ἔρχετ᾽ ὥρα·
ἐγὼ δὲ μόνα καθεύδω.

---

# ΗΡΙΝΝΗΣ ΩιΔΗ ΕΙΣ ΤΗΝ ΡΩΜΗΝ.

Χαῖρέ μοι, Ῥώμα, θυγάτηρ Ἄρηος,
χρυσεομίτρα, δαΐφρων ἄνασσα,
σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον
αἰὲν ἄθραυστον.
σοὶ μόνᾳ πρεσβίστα δέδωκε Μοῖρα
κῦδος ἀῤῥήκτω βασιλῆον ἀρχᾶς,
ὄφρα κοιρανῆον ἔχοισα κάρτος
ἁγεμονεύῃς.
σᾷ δ᾽ ὑπὸ σδεύγλᾳ κρατερῶν λεπάδνων
στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
σφίγγεται· σὺ δ᾽ ἀσφαλέως κυβερνᾷς
ἄστεα λαῶν.
πάντα δὲ σφάλλων ὁ μέγιστος αἰὼν,
καὶ μεταπλάσσων βίον ἄλλοτ᾽ ἄλλως,
σοὶ μόνᾳ πλησίστιον οὖρον ἀρχᾶς
οὐ μεταβάλλει.
ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίστους
ἄνδρας αἰχματὰς, μεγάλους, λοχεύεις,
εὔσταχυν Δάματρος ὅπως συνοίσῃς
καρπὸν ἀπ᾽ ἀνδρῶν.

# ΕΚ ΤΩΝ ΑΛΚΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ὕει μὲν ὁ Ζεύς· ἐν δ' ὠρανῷ μέγας
χειμών· πεπάγασι δ' ὑδάτων ῥοαί.
κάββαλε τὸν χειμῶν', ἐπὶ μὲν τιθεὶς
πῦρ, ἐν δὲ κιρναὶς οἶνον ἀφειδέως
μελιχρὸν, αὐτὰρ ἀμφὶ κόρσα
μαλθακὸν ἀμφικνέφαλον.

β'.

Τέγγε πνεύμονας οἴνῳ. τὸ γὰρ ἄστρον περιτέλλεται.
ἁ δ' ὥρα χαλεπά· πάντα δὲ διψᾷ ὑπὸ καύματος.

γ'.

Νῦν χρὴ μεθύσκειν, καί τινα πρὸς βίαν
πίνειν, ἐπειδὴ κάτθανε Μυρσίλος.

δ'.

Μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρεον ἀμπέλω.

ε'.

Οὐ χρὴ κακοῖσι θυμὸν ἐπιτρέπειν.
προκόψομεν γὰρ οὐδὲν, ἀσάμενοι,
ὦ Βακχί· φάρμακον δ' ἄριστον,
οἶνον ἐνεικαμένοις μεθύσθαι.

# ΕΚ ΤΩΝ ΒΑΚΧΥΛΙΔΟΥ.

α΄.

Γλυκεῖ᾽ ἀνάγκα σευομένα κυλίκων
θάλπησι θυμόν· Κύπριδος δ᾽
ἐλπὶς αἰθύσσει φρένας,
ἀναμιγνυμένα Διονυσίοισι δώροις,
ἀνδράσι θ᾽ ὑψοτάτω
πέμπει μερίμνας.
καί τις μὲν πόλεων
κρήδεμνον λύει,
πᾶσι δ᾽ ἀνθρώποις
μοναρχήσειν δοκεῖ·
χρυσῷ δ᾽ ἐλέφαντί τε
μαρμαίρουσιν οἶκοι·
πυροφόροι δὲ κατ᾽ αἰγλήεντα
νῆες ἄγουσ᾽ ἀπ᾽ Αἰγύπτου
μέγιστον πλοῦτον,
ὃς πίνοντος ὁρμαίνει κέαρ.

β΄.

Τίκτει δέ τε θνατοῖσιν Εἰρήνα μεγάλα
πλοῦτον καὶ μελιγλώσσων ἀοιδῶν ἄνθεα,
δαιδαλέων τ᾽ ἐπὶ βωμῶν
θεοῖσιν αἴθεται βοῶν
ξανθᾷ φλογὶ μηρία,
εὐτρίχων τε μήλων.
γυμνασίων τε νέοις,
αὐλῶν τε καὶ κώμων μέλει.
ἐν δὲ σιδαροδέτοισι
πόρπαξιν αἰθᾶν ἀραχνᾶν

ἱστοὶ πέλονται· ἔγχεά τε λογχωτὰ,
ξίφεά τ᾽ ἀμφάκεα δάμναται εὐρώς.
χαλκέων δ᾽ οὐκ ἔτι σαλπίγγων κτύπος,
οὐδὲ συλᾶται μελίφρων
ὕπνος ἀπὸ βλεφάρων,
ἀμὸν ὅς θάλπει κέαρ.
συμποσίων δ᾽ ἐρατῶν βρίθοντ᾽ ἀγυιαὶ,
παιδικοί θ᾽ ὕμνοι φλέγονται.

γ'.

Οὐ βοῶν πάρεστι σώματ᾽, οὔτε χρυσὸς
οὔτε πορφύρεοι τάπητες,
ἀλλὰ θυμὸς εὐμενὴς,
Μοῦσά τε γλυκεῖα, καὶ Βοιωτίοισιν
ἐν σκύφοισιν οἶνος ἡδύς.

δ'.

Λυδία μὲν γὰρ λίθος
μανύει χρυσόν·
ἀνδρῶν δ᾽ ἀρετὰν
σοφίαν τε παγκρατὴς
ἐλέγχει ἀλάθεια.

ε'.

Ἕτερος δ᾽ ἐξ ἑτέρου σοφὸς
τό τε πάλαι τό τε νῦν.
οὐδὲ γὰρ ῥᾷστον ἀῤῥήτων
ἐπέων πύλας ἐξευρεῖν.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΑΙΑΝ.

Ἀρετὰ πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι, παρθένε, μορφᾶς
καὶ θανεῖν ζαλωτὸς ἐν Ἑλλάδι πότμος,
καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας·
τοῖον ἐπὶ φρέν' ἔρωτα βάλλεις,
καρπὸν φέρεις τ' ἀθάνατον,
χρυσοῦ τε κρέσσω καὶ γονέων,
μαλακαυχητοῖό θ' ὕπνου.
σεῦ δ' ἕνεχ' οὑκ Διὸς Ἡρακλέης,
Λήδας τε κοῦροι πόλλ' ἀνέτλασαν,
ἔργοις σὰν ἀγορεύοντες δύναμιν,
σοῖς τε πόθοις Ἀχιλλεὺς,
Αἴας τ' Ἀΐδαο δόμους ἦλθον·
σᾶς δ' ἕνεκα φιλίου μορφᾶς
ὁ Ἀταρνέως ἔντροφος
ἀελίου χήρωσεν αὐγάς.
τοιγὰρ ἀοίδιμον ἔργοις
ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι
Μναμοσύνας θύγατρες,
Διὸς Ξενίου σέβας αὔξουσαι,
φιλίας τε γέρας βεβαίου.

# ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ ΑΙΣΜΑΤΑ Η ΣΚΟΛΙΑ.

### α΄. ΠΙΤΤΑΚΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ἔχοντα δεῖ τόξον καὶ ἰοδόκον φαρέτραν
στείχειν ποτὶ φῶτα κακόν.
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος λαλεῖ.
διχόμυθον ἔχουσα κραδίῃ νόημα.

### β΄. ΤΟΥ ΑΥΤΟΥ.

Συνετῶν ἐστὶν ἀνδρῶν,
πρὶν γενέσθαι τὰ δυσχερῆ,
προνοῆσαι, ὅπως μὴ γένηται·
ἀνδρείων δὲ, γενόμενα εὖ θέσθαι.

### γ΄. ΒΙΑΝΤΟΣ ΠΡΙΗΝΕΩΣ.

Ἀστοῖσιν ἄρεσκε πᾶσιν, ἐν πόλει αἴκε μένῃς·
πλείσταν γὰρ ἔχει χάριν. αὐθάδης δὲ τρόπος
πολλάκι βλαβερὰν ἐξέλαμψεν ἄταν.

### δ΄. ΣΟΛΩΝΟΣ ΑΘΗΝΑΙΟΥ.

Πεφυλαγμένος ἄνδρα ἕκαστον,
ὅρα μὴ κρυπτὸν ἔγχος ἔχων
κραδίῃ, φαιδρῷ προσενέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελαίνας φρενὸς γεγωνῇ.

### ε'. Ἀδέσποτον.

Ἐκ γῆς χρὴ κατιδεῖν πλόον,
εἴ τις δύναιτο, καὶ παλάμην ἔχοι·
ἐπὴν δὲ κὴν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη.

### ϛ'. Ἀδέσποτον.

Εἴθ᾽ ἐξῆν, ὁποῖός τις
ἦν ἕκαστος, τὸ στῆθος
διελόντα γνῶναι, ἔπειτα
τὸν νοῦν ἐσιδόντα, πάλιν τε κλείσαντ᾽,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

### ζ'. Ἀδέσποτον.

Αἰ, αἰ, Λειψύδριον προδοσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε, καὶ εὐπατρίδας,
οἳ τότ᾽ ἔδειξαν, οἵων πατέρων κύρησαν.

### η'. ΚΑΛΛΙΣΤΡΑΤΟΥ.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ᾽ Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην,
ἰσονόμους τ᾽ Ἀθήνας ἐποιησάτην.
Φίλταθ᾽ Ἁρμόδι᾽, οὔ τί που τέθνηκας,
νήσοις δ᾽ ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεὺς,
Τυδείδην τε φασὶν Διομήδεα.
Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ᾽ Ἀριστογείτων,
ὅτ᾽ Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.
Ἀεὶ σφῷν κλέος ἔσσεται κατ᾽ αἶαν,
φίλταθ᾽ Ἁρμόδιε κ᾽ Ἀριστόγειτον,
ὅτι τὸν τύραννον κτάνετον
ἰσονόμους τ᾽ Ἀθήνας ἐποιήσατον.

θʹ. Ἀδέσποτον.

Ἰὼ Πὰν, Ἀρκαδίας
μεδέων κλεεννᾶς,
ὀρχηστὰ, Βρομίαις ὀπαδὲ
Νύμφαις γελασίαις,
ἰὼ, Πὰν, ἐπ' ἐμαῖς
ταῖσδ' εὐφροσύναις ἀοιδαῖς
ἄειδε κεχαρημένος.
νικήσαμεν, ὡς ἐβουλόμεθα,
καὶ νίκην ἔδοσαν οἱ θεοὶ,
φέροντες παρὰ Πανδρόσου
ὡς φίλην Ἀθηνᾶν.

ΣΙΜΩΝΙΔΟΥ.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ·
δεύτερον δὲ, φυὰν καλὸν γενέσθαι·
τρίτον δὲ, πλουτεῖν ἀδόλως· εἶτα
τέταρτον, ἡβᾷν μετὰ τῶν φίλων.

ιʹ. ΤΙΜΟΚΡΕΟΝΤΟΣ ΡΟΔΙΟΥ.

Ὤφελές γ', ὦ τυφλὲ Πλοῦτε,
μήτε γῆ, μήτ' ἐν θαλάσσῃ
μήτ' ἐν ἠπείρῳ φανῆναι,
ἀλλὰ Τάρταρόν τε ναίειν
κἀχέροντα· διὰ σὲ γὰρ
πάντ' ἐν ἀνθρώποις κάκ' ἐστί.

ιαʹ. Ἀδέσποτον.

Παλλὰς Τριτογένει', ἄνασσ' Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας,
ἄτερ ἀλγέων τε καὶ στάσεων
καὶ θανάτων ἀώρων,
σύ τε καὶ πατήρ.

ιβʹ. Ἀδέσποτον.

Πλούτου μητέρ', Ὀμπνίαν
ἀείδω Δήμητρα,
στεφανηφόροις ἐν ὥραις,

σέ τε, παῖ Διὸς, Περσεφόνη.
χείρετον, εὖ δὲ πάνδ' ἀμφέπετον πόλιν.

ιγ΄. Ἀδέσποτον.

Ἐν Δήλῳ ποτ' ἔτικτε τέκνα Λατὼ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ' Ἀπόλλωνα,
ἐλαφηβόλον τ' ἀγροτέραν Ἄρτεμιν,
ἃ γυναικῶν μέγ' ἔχει κράτος.

ιδ΄. Ἀδέσποτον.

Παῖ Τελαμῶνος, Αἴαν αἰχμητὰ,
λέγουσί σ' ἐς Τροίαν ἄριστον
ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.
τὸν Τελαμῶνα πρῶτον,
Αἴαντα δὲ δεύτερον
ἐς Τροίαν λέγουσιν
ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

ιε΄. ΠΡΑΞΙΛΛΗΣ ΣΙΚΥΩΝΙΑΣ.

Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν, τοὺς ἀγαθοὺς φίλει'
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις.

ιϛ΄. Ἀδέσποτον.

Ὁ καρκίνος ὧδ' ἔφη,
χαλᾷ τὸν ὄφιν λαβών·
εὐθέα χρὴ τὸν ἑταῖρον ἔμεν,
καὶ μὴ σκολιὰ φρονεῖν.

ιζ΄. Ἀδέσποτον.

Ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ 'ταῖρ', ὑποδύεται·
φράζευ, μή σε βάλῃ. τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

ιη΄. Ἀδέσποτον.

Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλην ἔχει
τιμὰν ἔν τε βροτοῖς, ἔν τε θεοῖσιν, κατ' ἐμὸν νόον.

ιθ'. Ἀδέσποτον.

Ἔγχει κὠθωνι, διάκουε,
μηδ' ἐπιλήθου, εἰ δὴ χρὴ
τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

κ'. Ἀδέσποτον.

Σύν μοι πῖνε, συνήβα,
συνέρα, συστεφανηφόρει,
σύν μοί μαινομένῳ μαίνεο,
συνσωφρονήσω σώφρονι.

κα'. Ἀδέσποτον.

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φοροῖεν
Διονύσιον ἐς χορόν.
εἴθ' ἄπυρον καλὸν
γενοίμην μέγα χρυσίον,
καί με καλὴ γυνὴ φοροίη
καθαρὸν θεμένη νόον.

κβ'. Ἀδέσποτον.

Ἁ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν τὰν μὲν ἔχω, τὰν δ' ἔραμαι λαβεῖν.

κγ'. Ἀδέσποτον.

Πόρνη καὶ βαλανεὺς ταυτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταυτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

κδ'. ΣΕΛΕΥΚΟΥ.

Κἀγὼ παιδοφιλήσω. πολύ μοι κάλλιον ἢ γαμεῖν.
παῖς μὲν γὰρ παρεὼν κὴν πολέμῳ μᾶλλον ἐπωφελεῖ.

κε'. ΥΒΡΙΟΥ ΚΡΗΤΟΣ.

Ἔστι μοι πλοῦτος, μέγα δόρυ, καὶ ξίφος,
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτός.
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω, τούτῳ
πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλω.

τούτῳ δεσπότας μνοίας κέκλημαι. τοὶ δὲ
μὴ τολμῶντες ἔχειν δόρυ καὶ τὸ καλὸν λαισήϊον,
πάντες γόνυ πεπτηότες ἐμοὶ, κυνέοντι
δεσπόταν, καὶ βασιλέα μέγαν φωνέοντι.

## κϛ΄. ΑΡΙΦΡΟΝΟΣ ΣΙΚΥΩΝΙΟΥ.

Ὑγίεια, πρεσβίστα μακάρων,
μετὰ σεῦ ναίοιμι
τὸ λειπόμενον βιοτᾶς·
σὺ δ᾽ ἐμοὶ πρόφρων σύνοικος εἴης.
εἰ γάρ τις ἢ πλούτου χάρις, ἢ τεκέων,
τᾶς ἰσοδαίμονός τ᾽ ἀνθρώποις
βασιλῆδος ἀρχᾶς, ἢ πόθων,
οὓς κρυφίοις Ἀφροδίτης ἄρκυσι θηρεύομεν,
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις,
ἢ πόνων ἀμπνοὰ πέφανται,
μετὰ σεῖο, μάκαιρ᾽ Ὑγίεια,
τέθηλε πάντα, καὶ λάμπει Χαρίτων ἔαρ·
σέθεν δὲ χωρὶς οὔ τις εὐδαίμων.

## ΑΡΧΙΛΟΧΟΥ.

Οὐ φιλέω μέγαν στρατηγὸν,
οὐδὲ διαπεπλιγμένον,
οὐδὲ βοστρύχοισι γαῦρον,
οὐδ᾽ ὑπεξυρημένον·
ἀλλά μοι μικρός τις εἴη,
καὶ περὶ κνήμας ἰδεῖν
ῥαιβὸς, ἀσφαλῶς βεβηκὼς
ποσσὶ, καρδίας τε πλέως,
καὶ ἐπινοήμασι δασύς.